τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς;
3 ἢ τίς ἀντιστήσεταί μοι καὶ ὑπομενεῖ,
εἰ πᾶσα ἡ ὑπ᾽ οὐρανὸν ἐμή ἐστιν;
4 ※οὐ σιωπήσομαι δι᾽ αὐτόν,
※καὶ λόγον δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτοῦ.↙
5 τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ;
εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι;
6 πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει;
κύκλῳ ὀδόντων αὐτοῦ φόβος.
7 τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκειαι,
σύνδεσμος δὲ αὐτοῦ ὥσπερ σμιρίτης λίθος·
8 ※εἷς τοῦ ἑνὸς κολλῶνται,↙
πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν·
9 ※ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται,
※συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν.↙
10 ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος,
οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου.
11 ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι
καὶ διαρριπτοῦνται ἐσχάραι πυρός·
12 ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς
καμίνου καιομένης πυρὶ ἀνθράκων·
13 ἡ ψυχὴ αὐτοῦ ἄνθρακες,
φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται.
14 ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις,
ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια.
15 σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται·
※καταχέει ἐπ᾽ αὐτόν, οὐ σαλευθήσεται.↙
16 ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος,
ἕστηκεν δὲ ὥσπερ ἄκμων ἀνήλατος.
17 στραφέντος δὲ αὐτοῦ φόβος θηρίοις τετράποσιν
ἐπὶ γῆς ἁλλομένοις.
18 ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσιν

$2^2$ γαρ] δε S*† | ανθισταμενος A† || $3^1$ τις] + εστιν ος AV† ($2^2$ εστιν ⌒ $3^1$ εστιν V†) | $3^2$ ει] η ουχι AV† || $4^2$ λογον BS†] -γος AVLa†, -γω mu., -γοις compl. | αυτου BSA†] -τω rel. || $5^1$ τις δε ανακαλυψει AV† || $6^1$ πυλας] + δε AS$^c$V† || $7^1$ τα εγκ.] ενκ. δε AV† | χαλκειαι B†] -κεαι C†: cf. 20 20 24 Sir. 28 20 et Thack. § 12, 2; -και rel.: cf. 6 12 | $7^2$ συνδ. δε] δε > B†, και (cf. 3 12) συνδεσμοι AV† | σμιριτος A† || $8^1$ του] pr. εκ AV† | $8^2$ διελθη] + δι S*† || $9^2$ αποσπ.] παθωσιν S*† || $10^1$ επιφωσκεται AV† || $12^2$ πυρι] φλογι AV† || $14^2$ τρεχει] pr. προ AV† || $15^1$ σωμ. > S† || $16^1$ ως] ωσπερ A pl. || $17^1$ δε > AV† | $17^2$ επι γης / αλλ.] tr. AV† || $18^1$ μη] pr. ου AS$^c$V pl. | ποιησ.] + αυτω AS$^c$V†